σωπον διασταλέντα τὰ ὑγρὰ, εἰς τοὺς πλησίον τόποις προσκόψαντα ἀποπάλλεται πάλιν, καὶ τῇ κολλήσει ὑγρὸν συνήγαγεν· ἐὰν δὲ καὶ φλεβία τινὰ ῥαγῇ, ὕφαιμος ἡ συνδρομὴ γίνεται.

Ἐπιτομὴ φυσικῶν. ι.

Διὰ τί τὰ μὲν βήττει, τὰ δ᾽ οὔ; οἷον ἄνθρωπος μὲν βήττει, βοῦς δ᾽ οὔ; πότερον τῷ εἰς ἄλλο τι τρέπεσθαι τοῖς πλείστοις ζῴοις τὸ περίττωμα, ἀνθρώπῳ δὲ δεῦρο; ἢ ὅτι ἐγκέφαλον πλεῖστον καὶ ὑγρότατον ἔχει ὁ ἄνθρωπος; ἡ δὲ βὴξ καταῤῥέοντος γίνεται φλέγματος. β Διὰ τί ἀνθρώπῳ μόνῳ τῶν ζῴων αἷμα ῥεῖ ἐκ τῶν μυκτήρων; ἢ ὅτι ἐγκέφαλον ἔχει πλεῖστον καὶ ὑγρότατον· ἀφ᾽ οὗ αἱ φλέβες πληρούμεναι τοῦ περιττώματος, διὰ τῶν πόρων προΐενται τὴν ῥύσιν; λεπτότερον γὰρ γίνεται τοῦ αἵματος τοῦ καθαροῦ τὸ νοσερόν. τοῦτο δέ ἐστι, τὸ μιχθὸν τοῖς τοῦ ἐγκεφάλου περιττώμασι, καὶ ἔστι καθάπερ ἰχώρ.

γ Διὰ τί τῶν ζῴων τὰ μὲν, ὑπὸ σάρκα, [τὰ δὲ, κατὰ σάρκα,] πίονά ἐστι· τὰ δὲ, κατ᾽ ἀμφότερα; ἢ ὅσων μὲν πυκνὴ ἡ σὰρξ ὑπὸ δέρμα, μεταξὺ τοῦ δέρματος καὶ τῆς σαρκὸς συστέλλεται ἡ ἰκμὰς, διὰ τὸ ταύτῃ εἶναι τὸ δέρμα ἀφεστὼς φύσει· ἣ πεττομένη, γίνεται πιμελή. ὅσα δὲ ἀραιοτέραν ἔχει τὴν σάρκα, καὶ τὸ δέρμα προσεστὼς, κατὰ σάρκα πίονα γίνεται. τὰ δὲ ἀμφότερα ἔχοντα, ἐπ᾽ ἀμφότερα πιαίνεται.

δ Διὰ τί οἱ παῖδες καὶ αἱ γυναῖκες, ἧττον ἔχουσι λεύκην τῶν ἀνδρῶν· καὶ τῶν μὲν γυναικῶν, αἱ πρεσβύτιδες μᾶλλον; ἢ ὅτι ἡ λεύκη ἐστὶ πνεύματος ἔξοδος; ἔστι δὲ τὰ μὲν τῶν παίδων οὐκ εὔπνοα σώματα, ἀλλὰ πυκνά· καὶ τὰ τῶν γυναικῶν ἧττον, ἢ τὰ τῶν ἀνδρῶν, ὅτι ταύταις εἰς τὰ καταμήνια τρέπεται. δηλοῖ δὲ ἡ λειότης τὴν πυκνότητα τῆς σαρκός. τὰ δὲ τῶν πρεσβυτέρων καὶ [τὰ] τῶν γραιῶν σώματα εὔπνοα. μόνα γὰρ, ὥσπερ τὰ παλαιὰ οἰκοδομήματα, διεστῶσαν ἔχει τὴν σύνθεσιν τῶν μορίων. ε Διὰ τί ὁ ἄνθρωπος μόνον ἴσχει λεύκην; πότερον ὅτι λεπτοδερμότατον τῶν ζῴων ἐστὶν, ἅμα δὲ καὶ πνευματωδέστερον; σημεῖον δὲ, ὅτι ἡ λεύκη ἐν τοῖς λεπτοδερμοτάτοις μάλιστα καὶ πρῶτον γίνεται μέρεσιν. ἢ διὰ ταῦτά τε, καὶ ὅτι μόνον πολιοῦται

humores disiecti, in loca proxima ruunt, in quibus offendentes retorquentur. Itaque coniuncta, conglutinatáque humorum copia, tumor per collectionem exurgit, & si quæ venulæ ruptę sint, confluuium id humoris subcruentum fiat, necesse est.

*Eorum quæ ad res naturales pertinent, Sectio decima, cuius quæstiones 67.*

Cur in animantium genere alia tussiunt, alia non? Verbi gratia, homo tussit, bos minimè. Vtrum quòd cæteris maxima ex parte excrementum aliorsum se vertit: homini autem eò conuerti natura voluit. An quòd homo maximum, humidissimúmque cerebrum continet. Tussis autē pituita destillante fieri solet. 2 Cur homini tantummodo ex omni animantium numero, sanguis è naribus defluit? An quoniam plurimum cerebri, idémque humidissimum homo continet. Vnde venæ excrementis per ora eodem tendentia nimium repletæ, profundere inde coguntur. Sanguis enim vitiatus quisque, integro tenuior redditur. Talis autem est, qui se cerebri excrementis miscuerit, & quasi in saniem degenerat. 3 Cur alia ex animantibus sub cutem, alia intra carnem, alia vtroque modo pinguescere consueuerunt? An quibus densa est caro, iis inter cutem, & carnem humor prætenuis cogitur: quod is semper sua natura eminet, atque residet, qui tandem concoctus, pingue effici solet. Quæ autem carne sunt rariore, cutémque gerunt obuiam, hęc opima intra carnem redduntur. Quæ verò vtroque modo se habent, vtroque etiam pinguescunt. 4 Cur vitiliginem pueri, mulierésque minus habent, quàm viri, & in eo ipso fœminino sexu, quæ prouectæ ætate sunt, magis habent, quàm minores? An quòd vitiligo exitus spiritus est. Corpora autem puerorum contextu denso, non facili expiratu constant, & mulierum minus expirant, quàm virorum. Spiritus nanque in menstrua se auertit fœminæ: densitatem verò leuitas eiusdem satis declarat. Quæ autem corpora ætate processerint, aut consenuerint, respiratiora euadunt: hæc enim modo ædificij veteris, structuram suarum partium laxiorem iam habent. 5 Cur homo tantùm habeat vitiliginem? Vtrum quòd tenuissimam is ex omnibus animalibus cutem habet, simúlq. flatibus redundat: indicium verò, quod vitiligo partibus tenuissima cute obtectis, maximè, primúmque existit. An & his ipsis de causis, & præterea quòd homo vnus